# L'ATTIVITA' POLITICA

2. Πρῶτον μὲν οὖν ὑποκείσθω πολιτείᾳ καθάπερ ἔδαφος βέ-
βαιον καὶ ἰσχυρὸν ἡ προαίρεσις ἀρχὴν ἔχουσα κρίσιν καὶ λό-
γον, ἀλλὰ μὴ πτοίαν ὑπὸ δόξης κενῆς ἢ φιλονεικίας τινὸς ἢ
πράξεων ἑτέρων ἀπορίας. Ὥσπερ γὰρ οἷς οὐδέν ἐστιν οἴκοι
χρηστὸν ἐν ἀγορᾷ διατρίβουσι, κἂν μὴ δέωνται, τὸν πλεῖστον
χρόνον, οὕτως ἔνιοι, τῷ μηδὲν ἔχειν ἴδιον ἄλλο πράττειν ἄξιον
σπουδῆς, ἐμβάλλουσιν ἑαυτοὺς εἰς δημόσια πράγματα, τῇ πολι-
D τείᾳ διαγωγῇ χρώμενοι. Πολλοὶ δ' ἀπὸ τύχης ἁψάμενοι τῶν
κοινῶν καὶ ἀναπλησθέντες οὐκέτι ῥᾳδίως ἀπελθεῖν δύνανται,
ταὐτὸ τοῖς ἐμβᾶσιν εἰς πλοῖον αἰώρας χάριν, εἶτ' ἀποσπασθεῖ-
σιν εἰς πέλαγος, πεπονθότες· ἔξω βλέπουσι ναυτιῶντες καὶ τα-
ραττόμενοι, μένειν δὲ καὶ χρῆσθαι τοῖς παροῦσιν ἀνάγκην
ἔχοντες·

> Λευκᾶς καθύπερθε γαλάνας
> εὐπρόσωποι σφᾶς παράειραν ἔρωτες ναΐας
> κληῗδος χαραξιπόντου δαιμονίαν ἐς ὕβριν.

Οὗτοι καὶ μάλιστα διαβάλλουσι τὸ πρᾶγμα τῷ μετανοεῖν
καὶ ἀσχάλλειν, ὅταν ἢ δόξαν ἐλπίσαντες ἀδοξίᾳ περιπέσωσιν
ἢ φοβεροὶ προσδοκήσαντες ἑτέροις ἔσεσθαι διὰ δύναμιν εἰς
E πράγματα κινδύνους ἔχοντα καὶ ταραχὰς ἄγωνται.

**Plutarco**